ἐμμενέων, θείως τοῦδε νόον φανεροῖς.
Τοὔνεκα ὀτρακλέως σέο θέσκελα ἔργα γεραίρει
πᾶς τις εὐφρονέων, δῶρα τὰ σῆς ἀρετῆς.
Κἀγὼ δ' οἰκτροτάτῃ μαχόμενος καίπερ ἀνάγκῃ
Ἑλλάδος ὀρφανίης, τοῖον ἅμ' εἰσορόων
ὀλβίζωσ', ἰδὲ λίσσομαι υἱὰ Θεοῦ γενετῆρος
ἐκ μονάδος τοίης προσθέμεναι δεκάδα
ὄφρα ποθ' ἡμετέροιο πόνου στονόεντος ἰδόντες
τέρματ' ἐπὶ προτέρης ὦμεν ἔτ' εὐτυχίης.
Ναὶ λίτομ' ἀθανάτοιο Θεοῦ γόνε παμμεδέοντος
ἵλαθι, χ' ἡμετέραις νεῦσον ἐφ' ἱκεσίαις.
Νεύματι γὰρ τεῷ πάνθ' ὑπόειχεν, σῆς τ' ἀπὸ χειρὸς
ἀρρήτῳ σοφίῃ πάντα διοικέεται.

Ὁ Φουρλάνος ἔγραψε καὶ ὑπομνήματα εἰς τὸν Θεόφραστον, απερ ἐξεδόθησαν ἐν ἔτει 1605 τῇ ἑξῆς ἐπιγραφῇ. Theophrasti Eresii, peripateticorum post Aristotelem principis, pleraque ante hac Latine nunquam, nunc graece et latine simul edita interpretibus, Daniele Furlano Cretensi, Adriano Turnebo. Accesserunt liber de innato spiritu, Aristoteli attributus, et Danielis Furlani uberes ad omnia Commentarii. ex bibliotheca Ioan. Vincentii Pinelli.˙ Hannoviae, MDCV.

Ἀντίτυπον τοῦ συγγράμματος τούτου ὑπάρχει παρ' ἐμοί. Ὁ Φουρλάνος εἶχε καὶ ἐξάδελφον λόγιον πρὸς ὃν γράφει οὕτω. Andreae Furlano patrueli, juris civilis et eloquentiae peritissimo.

σελ. 175. Γεώργιος Καλύβας. Ἐν τῷ ὑπ' ἀριθμὸν 289 θεολογικῷ χειρογράφῳ τῆς ἐν Βιέννῃ βιβλιοθήκης ὑπάρχουσι πεντήκοντα ἐρωταποκρίσεις τοῦ Καλύβα κατὰ τὴν ἑξῆς τάξιν· α΄, Περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. β΄, Περὶ τῆς παραβολῆς τοῦ ἀσώτου. γ΄ Περὶ τοῦ ποῦ ἀπέρχονται αἱ ψυχαί. δ΄, Περὶ τοῦ καθαρτηρίου πυρός. ε΄, Περὶ τῆς πρώτης καὶ δευ-